UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Nicolai Cavssini Trecensis E Societate Iesv, De Eloqventia Sacra Et Hvmana

**Caussin, Nicolas**

**Coloniae Agrippinae, 1626**

Parvvlvs In Aqvis Svffocatvs. Ex eodem authore in Moyse. Descriptio CXLI.

urn:nbn:de:hbz:466:1-68724

Visual Library

τίθεντο Νῶε δὲ μόνος ἐν πανδήμῳ θανάτῳ ζωὴν ἐκαρποῦτο παράδοξον, καθάπερ τις κυβερνήτης ἐν μέσῳ τῷ σκάφει τοὺς τῆς πίστεως μεταχειριζόμενος οἴακας, καὶ τῷ κατακλυσμῷ πάντοθεν πολιορκούμενος, ἀνάλωτος ἔμενεν ὁ τῆς κτίσεως λειψάνων ταμείας, ὁ φύλαξ τῶν τοῦ θεοῦ δημιουργημάτων ταχθείς, ὁ καθάπερ ἐν ἀκροπόλει τῇ κιβωτῷ σταδιεύσας, ὁ τῆς κτίσεως ναυαγούσης μόνος γαληνῶς διαπλεύσας, ὁ πίστει καὶ ξύλῳ τὸν κατακλυσμὸν βιασάμενος.

---

## PARVVLVS IN AQVIS SVFFOCATVS.

### Ex eodem authore in Moyse.

*Descriptio* CXLI.

Καὶ ἦν δρᾶμα παράδοξον. τοῦ δημιουργοῦ μὲν ἔπλαττον χεῖρες, βασιλέως δὲ χεῖρες τοῖς ὕδασι τὴν πλάσιν ἀπήλειφον, καὶ πανταχοῦ τῶν ὠδίνων ἦσαν κατάσκοποι, καὶ ποταμὸς τῶν τικτομένων ἐχειροτονεῖτο δήμιος. νόμος ἐγράφετο καὶ φύσις ηὐθύνετο, καὶ πρᾶξις ἐκρίνετο, ὠδῖνες κατεδικάζοντο, καὶ τόκος ἐδοκιμάζετο, καὶ φύσεως παρρησία σεσύλητο. ἐλόχα δὲ ποταμὸς τὰ τικτόμενα, καὶ διεδέχετο ταῖς τῶν μητέρων γαστέρας, ἡ τῶν ῥευμάτων γαστήρ. ἄρτι βρέφος ἐτίκτετο, καὶ μήπω τὰς ἡλιακὰς ἀκτῖνας θεώμενον, πρὸς τὰς τοῦ ποταμοῦ ὠδῖνας ἐπέμπετο. πρᾶγμα πάντων ἐλεεινότατον. φονεὺς ὁμοῦ καὶ τάφος ὁ ποταμὸς τῶν τικτομένων ἐγίνετο, καὶ τόκος τῷ θανάτῳ σύγχρονος. ἀναίρεσις τῇ γεννήσει συνέζευχε, καὶ μητέρες ἄχρι τῶν ὠδίνων ἐρχόμεναι, γενέσθαι μητέρες ἀπηύχοντο, ἀγνοίᾳ τοῦ τικτομένου στῆναι τὰς ὠδῖνας εὐχόμεναι, προλαβεῖν ἐπιθυμοῦσαι τῷ θανάτῳ τὸν τόκον, ἵνα μὴ τῷ ποταμῷ μητέρες ὑπάρξωσι. πένθος ἦν αὐταῖς πρὸ τοῦ τόκου τὸ τικτόμενον, καὶ γαστέρες ἄκαρποι μετὰ γόνον, καὶ τόκον περιέσχοντο. καὶ ὠδίνων τὰ βέλη λεχόμεναι, δεῖξαι τῶν πόνων τοὺς καρποὺς οὐκ ἠδύναντο. τὰς ὠδῖνας ὑπέμενον καὶ τῶν ὠδίνων τὸν καρπὸν οὐκ ἐδέχοντο. ἄωροι βότρυες ἐτρυγῶντο τῆς φύσεως, τοιαύτη μὲν ἡ τῶν ἀνθρώπων πρὸς τὸν θεὸν φιλονεικία.

Eratque facinus per quam insolens. Quod Dei manus efformabant, regis manus aquis obliterabant. Vbique erant geniturae speculatores, & fluuius natorum carnifex constituebatur. Lex seruabatur, & natura mulctabatur, & si qua periculi redemptio, iudicio erat obnoxia. Parturae damnabantur, & partus explorabantur, naturae quoque libertas spoliabatur. Fluuius partum insidijs excipiebat, & matris aluo fluminis alueus succedebat. Foetus recens editus, ac nondum solare iubar contuitus ad fluuij dolores transmittebatur. Rem sane commiseratione dignissimam! infantium iugulator erat fluuius, pariter & sepulchrum, ac genitus morti coaeuus, stragesque cum generatione concurrebat, quaeque matres ad partionis vsque molestiam processerant, genitrices fieri deprecabantur; quod pactum futurum ignorarent, stare suos dolores praeoptantes, & mortem ante pactum oppetere gestientes, vt ne fluuio genuisse viderentur. Partus illis ante partum luctum pariebat, & post conceptum partumque ventres fructu priuati reperiebantur. Nec quae in partura erant expertae dolorum spicula, fructum commonstrare poterant: pariendi molestiam sufferebant, nec vllum ex doloribus fructum capiebant. Immaturi naturae racemi vindemiabantur. Talis erat hominum cum Deo contentio,

TEM-